Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 17



σωμάτων, συμπλοκὰς μελῶν, λόγους ἐμπαθεῖς, γέλωτας θελγοποιοὺς, νεύματα ὀφθαλμῶν, στολισμὸν ἱματίων, χρόας σωμάτων, λαλιὰς κολακευτικὰς, χειλέων συστολὴν, σώματος ἡδύτητα, ἐνοπλισμοὺς κινημάτων, ὥρας καὶ τόπους συνομιλιῶν, καὶ πάντα ὅσα ἐστὶ πρὸς ἡδονὴν φέροντα. Ταῦτα ὁ φιλήδονος, καὶ μὴ ὢν ἐγκρατὴς, ἀναζωγραφεῖ τῇ διανοίᾳ τοῖς λογισμοῖς συντιθέμενος. Ὁ τοιοῦτος ἐὰν ἴδῃ γραφὴν περὶ σωφροσύνης ἀναγινωσκομένην, σκυθρωπάζει· ἐὰν ἴδῃ σύλλογον πατέρων ὠφέλιμον, ἐκκλίνῃ καὶ ἀποδοκιμάζει· ἐὰν ἴδῃ αὐστηρότητα πατέρων, ἀηδίζεται· ἐὰν περὶ νηστείας ἀκούσῃ, ταράσσεται. Ἐν συλλόγῳ ἀδελφῶν οὐ τέρπεται. Ἐὰν ἴδῃ θηλείας, φαιδρύνεται· συντρέχει ἄνω καὶ κάτω τῆς ὑπηρεσίας γενέσθαι· τότε καὶ εἰς τὸ ψάλλειν εὔτονος εὑρίσκεται· εὔτονος εἰς τὸ εὐτραπελεῦσαι, εἰς τὸ γελοιάσαι, πῶς ἵνα ἡδύνῃ ἑαυτὸν, καὶ ὡραῖον καὶ τερπνὸν ἀποδείξῃ ταῖς παρατυχούσαις γυναιξίν. Ἐν ἡσυχίαις στυγνὸς, καὶ ἀσθενὴς ὑπάρχει. Ἄθλιος οὖν καὶ ταλαίπωρος ὁ μὴ ἔχων ἐγκράτειαν κατὰ παντὸς τρόπου καὶ πράγματος. Διὸ ἀδελφοὶ ἀκούσαντες τῆς ἐγκρατείας τοὺς καρποὺς, καὶ τῆς ἀκρασίας τὰ δράγματα, φύγωμεν ἀπ' αὐτῆς, καὶ κολληθῶμεν τῇ ἐγκρατείᾳ· μεγάλη γὰρ τῆς ἐγκρατείας ἡ μισθαποδοσία, καὶ οὐκ ἔστι περασμὸς τῆς μεγαλειότητος αὐτῆς. Μακάριος οὖν ὄντως ἀληθῶς ὁ κτησάμενος ἐγκράτειαν· μακάριος ὁ ἐν πάσῃ ἀρετῇ ἑαυτὸν ῥυθμίσας, καὶ ἐν ἔργοις δικαιοσύνης ἐκλάμψαι σπουδάσας· καὶ μακάριος, ὃς οὐκ ἐποίησε κρυπτὸν τὸ μὴ ἀρεστὸν Θεῷ, ἀλλὰ πάσῃ ἀληθείᾳ ἐδούλευσε, καὶ πᾶσαι αἱ πράξεις αὐτοῦ ἐν φωτὶ ἐγένοντο, καὶ ὃς οὐκ ἠθέτησε παντὶ λογισμῷ συμβουλεύοντι μάταια.

Καὶ τί ποιήσω ἐγὼ πᾶσαν ἀρετὴν ἐπαινέσας, καὶ οὐδὲ ἐν μιᾷ αὐτῶν ἀναστραφεὶς, ἀλλ' ἐν πᾶσι κακοῖς τὰ ἔτη μου δαπανήσας; Καὶ πληροῦται ἐν ἐμοὶ τὸ γεγραμμένον· φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ ἑνὶ τῶν δακτύλων οὐ προσψαύετε. Διὸ παρακαλῶ τὴν πάντων ὑμῶν ἀγάπην, εὐλογημένοι τοῦ Χριστοῦ, καὶ μέτοχοι τοῦ παραδείσου, πάντες σπουδάσατε ἀρέσαι τῷ στρατολογήσαντι ὑμᾶς Χριστῷ, μή τις ὑμῶν ἀποβληθῇ, ὡς καταφρονήσας ἢ ἀμελήσας. Ὅσοι χάριτι Χριστοῦ ὑπὸ ζυγὸν ἄγεσθε, προσέχετε μὴ ποιεῖν τὰ θελήματα τῆς σαρκὸς, ἵνα μὴ ἀναπολόγητοι εὑρεθῶμεν ἐπὶ τοῦ φρικτοῦ βήματος ἐκείνου· ἐν ᾧ γενήσεται ἡ ἀνταπόδοσις ἑκάστου, εἴτε ἀγαθὸν, εἴτε κακόν τις διεπράξατο.



A complicationes, sermonum dulcedinem, blandimenta risus, nutus oculorum, ornatum vestium, colores corporum, collocutiones adulatorias, labiorum contractiones, totius corporis jucunditatem, motuum ac gestuum illecebras, tempora ac loca congressionum, & cuncta denique quæ ad voluptatem pertinent. Homo voluptatibus addictus atque incontinens, in animo suo tamquam pictura, hæc omnia depingit,
B & in illa cogitatione fixus hæret immoraturque: adeo ut si videat scripturam aliquam de continentia recitari, mœrere incipiat; si gravem seniorum de rebus utilibus ac bonis differentium conventum viderit, ab illo se subtrahat; si patrum austeritatem consideret, nausea afficiatur; si verba de jejunio audiat, turbetur. Fratrum congressum aversatur. At si mulieres conspexerit, illico exhilaratur, sursum atque deorsum ad
C ministrandum cursitans. Tunc in psallendo sonorus est, tunc in facetiis ac risibus strenuus, ut sic se gratum jucundumque feminis illis præbeat. Tempore quietis atque silentii, tristis & infirmus est. Miser ergo & infelix is, qui continentia spoliatus est. Quapropter, fratres, cum continentiæ fructus & commoda, incontinentiæ autem mala ac damna intelligamus, hanc fugiamus, illam modis omnibus amplectamur.
D Magna enim continentiæ reposita sunt præmia, & magnitudinis ejus non est finis. Vere igitur felix atque beatus, qui temperantiæ ac continentiæ splendore ornatus est. Sed omnium beatissimus ac felicissimus, qui omnibus virtutibus claret, qui operibus justitiæ præcellere studet, qui nihil occulte agit quod displiceat Deo, sed semper veritati inservit, semperque actiones suas bene in lumine dirigit, & nullis unquam co-
E gitationibus improbis consentit.

Sed ego quid miser agam, qui cunctas virtutes semper prædico, & ne in una quidem me exercui, sed in omni potius vitiorum genere annos meos consumsi? In me quadrabit quod scriptum est: Onera- *Matth. 23.* ratis homines oneribus, quæ portare non *Luc. 11.* possunt, & ipsi uno digito vestro non tangitis sarcinas. Quamobrem rogo obtestorque dilectionem vestram, fratres in Christo be-
F nedicti, & Paradisi participes, ut Christo Domino, qui vos suæ militiæ adscripsit, totis viribus placere studeatis. Nullus vestrum, qui Christi gratia sub ejus jugo militatis, repudietur ut ignavus ac negligens. Nolite morem gerere voluntati carnis, ne absque defensione inveniamur coram tremendo tribunali illo, ubi quisque referet, *Rom. 14.* prout gesserit in vita, sive bonum sive malum. *2. Cor. 5.*



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0265
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg